αὐτὸν γέροντα ʽκαθάπερ ἱερείου διαπεπραγμένου μηδὲν ἔτι λοιπὸν ἢ τὴν γλῶσσαν εἶναι καὶ τὴν κοιλίαν᾽)· σὲ δ᾽ οὐκ ἄν τις, ὦ κακόδαιμον, θαυμάσειεν, εἰ δυνάμενος οὕτω ζῆν ἀνελευθέρως καὶ ἀπανθρώπως καὶ ἀμεταδότως καὶ πρὸς φίλους ἀπηνῶς καὶ πρὸς πόλιν ἀφιλοτίμως κακοπα-
D θεῖς καὶ ἀγρυπνεῖς καὶ ἐργολαβεῖς καὶ κληρονομεῖς καὶ ὑποπίπτεις τηλικοῦτον ἔχων τῆς ἀπραγμοσύνης ἐφόδιον, τὴν ἀνελευθερίαν; Βυζάντιόν τινα λέγουσιν ἐπὶ δυσμόρφῳ γυναικὶ μοιχὸν εὑρόντ᾽ εἰπεῖν, ʽὦ ταλαίπωρε, τίς ἀνάγκα; σαπρὰ γὰρ ἁ τρύξ᾽. †ἄγε σὺ κυκᾷς ὑφάπτεις, ὦ πόνηρε, τοὺς βασιλεῖς ⟨ἔα⟩ πορίζεσθαι τοὺς ἐπιτρόπους τῶν βασιλέων τοὺς ἐν ταῖς πόλεσι πρωτεύειν καὶ ἄρχειν ἐθέλοντας, ἐκείνοις ἀνάγκη διὰ τὴν φιλοτιμίαν καὶ τὴν ἀλαζονείαν καὶ τὴν κενὴν δόξαν ἑστιῶσιν χαριζομένοις δορυφοροῦσιν δῶρα πέμπουσι στρατεύματα τρέφουσι μονομάχους ὠνουμένοις·
E σὺ δὲ τοσαῦτα πράγματα συγχεῖς καὶ ταράττεις καὶ ʽστροβεῖς σεαυτόν᾽, κοχλίου βίον ζῶν διὰ τὴν μικρολογίαν, καὶ τὰ δυσχερῆ πάνθ᾽ ὑπομένεις οὐδὲν εὖ πάσχων, ὥσπερ